Κριταὶ δὲ τῶνδ' ὀνειράτων
Θεόθεν ἔλακον ὑπέγγυοι
Μέμφεσθαι τοὺς γᾶς
Νέρθεν περιθύμως,
Τοῖς κτανοῦσί τ' ἐγκοτεῖν.

Στροφὴ β'.

Τοιάνδε χάριν ἄχαριν ἀπότροπον κακῶν,
Ἰὼ γαῖα, γαῖα, μωμένα μ' ἰάλλει
Δύσθεος γυνά. Φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν.
Τί γὰρ λυγρὸν πεσόντος αἵματος πέδῳ;
Ἰὼ πανοιζὺς ἑςία.
Ἰὼ κατασκαφαὶ δόμων.
Ἀνήλιοι, βροτοςυγεῖς
Δνόφοι καλύπτουσι δόμους
Δεσποτῶν θανάτοισι.

Ἀντιςροφὴ β'.

Σέβας δ' ἄμαχον ἀδάματον, ἀπόλεμον τὸ πρὶν,
Δι' ὤτων φρενός τε δαμίας περαῖνον,
Νῦν ἀφίςαται. Φοβεῖται δέ τις. τὸ δ' εὐτυχεῖν
Τόδ' ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον.
Ῥοπὴ δ' ἐπισκοπεῖ δίκαν
Ταχεῖα τοῖς μὲν ἐν φάει,
Τὰ δ' ἐν μεταιχμίῳ σκότου
Μένει, χρονίζοντα (ἄχη) βρύει·
Τοὺς δ' ἄκραντος ἔχει νύξ.